# TEZAUR LITURGIC

## 10 IUNIE

## SINCLITICHIA MONAHIA

# PARACLISUL

## SF.CUVIOŞI

# TEOFAN

## ŞI

# PANSEMNIA

## DE LA

## ANTIOHIA SIRIEI

ATENA,2010


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 10 ΙΟΥΝΙΟΥ
# ΘΕΟΦΑΝΗΣ & ΠΑΝΣΕΜΝΗ ΟΣΙΟΙ
# ΠΑΡΑΚΛΗΣΙΣ

**Συγκλητικῆς Μοναχῆς Ἱ. Μ. Ἁγ. Παντελεήμονος Χρυσοκάστρου Καβάλας**

*Εὐλογήσαντος τοῦ ἱερέως, τὸ Κύριε εἰσάκουσον, μεθ' ὃ τὸ Θεὸς Κύριος ὡς συνήθως καὶ τὰ ἑξῆς. Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Τὸ τῶν Ὁσίων ἱερώτατον ζεῦγος, τὸν Θεοφάνην τὸν κλεινὸν καὶ Πανσέμνην, ἀξίως εὐφημήσωμεν ᾀσμάτων ᾠδαῖς, στέφοντες τὴν ἱερὰν αὐτῶν, ἐτησίαν πανήγυριν, καὶ πιστῶς προσπέσωμεν ἐξαιτοῦντες κινδύνων, καὶ ψυχικῶν δεινῶν ἀπαλλαγήν, τούτων πρεσβείαις, θερμαῖς πρὸς τὸν Κύριον.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε, Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο, ἐκ τοσούτων κινδύνων; τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ· σοὺς γὰρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Ὁ Ν΄ ψαλμός,*

*Κανών.*

*ᾨδὴ α΄. Ὑγρὰν διοδεύσας.*

Ὁσίων δυὰς ἡ πανευκλεής, νοός μου τὸ σκότος καταφώτισον καὶ ψυχῆς, πάρεσιν διάλυσον εὐχαῖς σου, πρὸς τὸν Σωτῆρα τοῦ κόσμου καὶ Κύριον.

Ἡδύπνοον ῥόδον τοῦ νοητοῦ, Πάτερ παραδείσου ὦ Θεόφανες τῶν ἐμῶν, παθῶν τὴν δυσώδη ὕλην πᾶσαν, ἀποδιώξας ὀσμῆς σου ἀξίωσον.

Πανσέμνη ἡ λύρα ἡ ἐμμελής, τῆς μεταμελείας μετανοίας μοι λογισμόν, ἔμπνευσον καὶ φόβον τοῦ Δεσπότου, τὸν σωστικὸν τῇ καρδίᾳ μου κράτυνον.

*Θεοτοκίον.*

Χριστὸν παρθενίας τὸν φυτουργόν, κυήσασα Κόρη καὶ Παρθένος ὥσπερ τὸ πρίν, φανεῖσα Παρθένε Θεοτόκε, ἐν παρθενίᾳ ἡμᾶς διαφύλαξον.

*ᾨδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Βοηθὸς ἐν τῷ βίῳ δυὰς σεπτὴ φάνηθι, Ὅσιε Θεόφανες μάκαρ, Πανσέμνη ἔνδοξε, καὶ παναλκὴς ἀρωγός, διασκεδάζουσα πᾶσαν, σκευωρίαν δράκοντος τοῦ πολεμοῦντός με.

Ὦ Θεόφανες Πάτερ τῶν ἀσκητῶν καύχημα, καὶ κατοικητήριον θεῖον, Ἁγίου Πνεύματος, τούτου τὴν χάριν ἡμᾶς, ἐφελκύσαι δυσώπει, ἐντολὰς φυλάξαντας τοῦ Παντοκράτορος.

Μετανοίας ῥομφαίᾳ Μῆτερ στεῤῥᾶς ἔτεμες, πάντα τοῦ προτέρου σου βίου, ἡδονῆς σύνδεσμον, καὶ τῷ

Νυμφίῳ Χριστῷ, συναρμοσθεῖσα ὁσίως, πρὸς Αὐτόν μου ἴθυνον, τὰ διαβήματα.

*Θεοτοκίον.*

Μαργαρίτην τὸν θεῖον ἁγνοπρεπῶς Δέσποινα, ἔνδον ἐν κοιλίᾳ Σου Κόρη κυοφορήσασα, εἰς κόσμου σύναψιν, πρὸς τὸν Θεὸν καὶ εἰρήνην, Τοῦτον ἀπεκύησας, Χριστὸν τὸν Κύριον.

Διάσωσον, δυὰς Ἁγία Θεόφανες καὶ Πανσέμνη, ἀπὸ παντοίων πειρασμῶν τοὺς σοὶ καταφεύγοντας, καὶ θείας ἀξίωσον κληρουχίας.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι, τῆς ψυχῆς μου το ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Δυὰς ἱερὰ Ὁσίων καὶ ὁμότιμος, Ἀγγέλων χοροῖς ἀεὶ ἀγαλλόμενοι, ἐκτενῶς πρεσβεύσατε, τοὺς τὴν μνήμην ὑμῶν γεραίροντας, ζωῆς τῆς αἰωνίου μετασχεῖν, ἐν τῇ ἀγήρῳ μακαριότητι.

*Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Διαφύλαξον ἄτρωτον, ξυνωρὶς ἡ ἁγία τὸν σοὶ προστρέχοντα, τῶν βελῶν τοῦ πολεμήτορος, τούτου τὴν καρδίαν καταπλήξασα.

Μυστικῶς Πάτερ ἔτυχες, τῆς θεοφανείας ἐν τῇ καρδίᾳ σου, ἐξ ἧς λάμψον φῶς ἐν σκότει μου, πικρᾶς καθημένῳ ἀπογνώσεως.

Ἀθετοῦντος ἀείποτε, τοῦ Χριστοῦ Πανσέμνη θεῖα ἐντάλματα, μὴ παρίδῃς τοὺς οἰκέτας σου, ἀλλὰ πρὸς μετάνοιαν ὁδήγησον.

*Θεοτοκίον.*

Καταπλήττει μου Δέσποινα, τῆς κυοφορίας Σου τὸ μυστήριον, λογισμὸν καὶ τὴν διάνοιαν, πῶς Παρθένος οὖσα Θεὸν ἔτεκες.

*ᾨδὴ ε΄. Φώτισον ἡμᾶς.*

Ἄρδευσον ἡμῶν, τὰς καρδίας θείοις νάμασι, παρακλήσεων σεπτῶν θεία δυάς,
ὦ Θεόφανες καὶ Πανσέμνη τρισμακάριστοι.

Ῥῦσαι χαλεπῶν, παθημάτων παναοίδιμε, ὡς πλουτήσας ἐκ Θεοῦ τὴν δωρεάν, τοῦ ἰατρεύειν ἀσθενούντων τὰ νοσήματα.

Ἔρως τοῦ Θεοῦ, τὴν καρδίαν καταφλέξας σου, ἀπεμάρανε σαρκὸς τὰς ἡδονάς, ὧν με ῥῦσαι ἐπηρείας πανσεβάσμιε.

*Θεοτοκίον.*

Μύρον νοητόν, ἀπεκύησας πανάσπιλε, καὶ ἐπλήρωσας ὀσμῆς θεουργικῆς, πᾶσαν τὴν κτίσιν ἀειπάρθενε Μητρόθεε.

*ᾨδὴ στ΄. Τὴν δέησιν.*

Ἀσώματον, ἐν τῷ σώματι ὄντες, καταισχύνατε ἐχθρὸν θεηγόροι, διηνεκῇ, προσευχῇ καὶ νηστείᾳ, καὶ ταπεινώσει ἀμέτρῳ κοσμούμενοι, ὧν ἱκετεύσατε κἀμέ, νικητήριον δύναμιν κτήσασθαι.

Τὸν ἄφθαρτον, ἐκ Κυρίου στέφανον, σῇ ὁσίᾳ κεφαλῇ ἐκομίσω, ἀνθ’ ὧν τερπνῶς ἀπηρνήθης τὴν σχέσιν, καὶ ἀντὶ κόπων ἀμέτρων ὧν ἤνεγκας, Θεόφανες διὸ Αὐτόν, ἐκδυσώπει ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ὡς πάνσοφος, ἁμαρτίας τὸν ῥύπον, τῷ βαπτίσματι καὶ ῥείθρῳ τῶν δακρύων,
ἀποκαθάρας Πανσέμνη Ὁσία, πάλλευκον κρῖνον ὡράθης καὶ ἄσπιλον, καὶ γέγονας πᾶσι πιστοῖς, μετανοίας πολύτιμον δώρημα.

*Θεοτοκίον.*

Δυσίατα, τῆς ψυχῆς μου Δέσποινα, πάθη ἴασαι ὡς μόνη τεκοῦσα, τὸν ἰατρὸν τῶν ψυχῶν καὶ σωμάτων, δραστικοτάτῃ ῥοπῇ τῆς πρεσβείας Σου, καὶ τήρησόν με ἀσινῆ, Σὸν ἱκέτην Μαρία Πανάχραντε.

Διάσωσον, δυὰς Ἁγία Θεόφανες καὶ Πανσέμνη, ἀπὸ παντοίων πειρασμῶν τοὺς σοὶ καταφεύγοντας, καὶ θείας ἀξίωσον κληρουχίας.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ’ εσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β΄. Τὰ ἄνω ζητῶν.*

Ἀγγέλων χοροῖς ἀεὶ ἐπιποθήσαντες, συνεῖναι σοφοὶ ἀγγελικὴν διήλθετε, πολιτείαν ἔχοντες πρὸς Θεόν, τὸν νουν δι’ ἀσκήσεως, καὶ ἀεννάου
προσευχῆς, Πανσέμνη Ὁσία καὶ Θεόφανες.

Προκείμενον: *Θαυμαστὸς ὁ Θεός, ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Στ.: *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.*

*Εὐαγγέλιον (Ματθ. ια΄, 27-30)*

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου. καὶ οὐδεὶς ἐπιγινώσκει τὸν Υἱόν, εἰ μὴ ὁ Πατήρ, οὐδὲ τὸν Πατέρα τὶς ἐπιγινώσκει, εἰ μὴ ὁ Υἱός, καὶ ᾧ ἐὰν βούληται ὁ Υἱός ἀποκαλύψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς, ἄρατε τὸν ζυγόν μου ἐφ' ἡμᾶς καὶ μάθετε ἀπ' ἐμοῦ ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν, ὁ γαρ ζυγός μου χρηστός, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστι.

Δόξα: *Ταῖς τῶν Σῶν Ὁσίων...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Προσόμοιον. Ἦχος πλ. Β΄. Ὅλην ἀποθέμενοι.

Στ.: *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*

Σπείραντες μακάριοι, ἐν ἀμετρήτῳ ἀσκήσει, ἀρετῶν τὰ σπέρματα, σταλαγμοῖς δακρύων τε καταρδεύσαντες, στάχυν μυρίπνοον, καρπὸν νεόδρεπτον, τῷ Θεῷ ἑκατοστεύσατε, Πάτερ Θεόφανες, ὁμοῦ σὺν τῇ Πανσέμνῃ πανόσιοι. Διὸ Κριτὴς ὁ δίκαιος, τοὺς κόπους καθορῶν καὶ παλαίσματα, ὑμᾶς κληρονόμους, ἀφθάρτων ἀγαθῶν καταξιοῖ, καὶ Παραδείσου τὴν οἴκησιν, δωρεῖται ὡς εὔσπλαγχνος.

*ᾨδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Εὐφημίας ἐπαίνων ὑπερέκεινα ὄντως ὑμῶν τὰ παλαίσματα, Θεόφανες Ὁσίων, ὁ μέγας θεοδρόμος καὶ Πανσέμνη στερέωμα, ἐπιστρεφόντων Θεῷ, διὰ τῆς μετανοίας.

Ἐκμαγεῖον ἁπάσης ἀρετῆς
θεοφόρε Θεόφανες γέγονας, καὶ φῶς τοῖς ἐν τῷ σκότει, ἁμαρτίας κειμένοις, καὶ λαμπρὰ καθοδήγησις, καὶ ἀρωγὴ κραταιά, καὶ μέγας ἀντιλήπτωρ.

Ὁλοκάρπωσις Μῆτερ τῷ Χριστῷ ἀνετέθης ἀναβοῶσα θερμῶς, τοὺς χρόνους τῆς ἁγνοίας, παρορῶν πανοικτίρμων, ἁμαρτίας νεότητος, συγχώρησον ὡς Θεός, ἀεὶ εὐλογημένος.

*Θεοτοκίον.*

Καταπράϋνον Κόρη τῆς ψυχῆς τρικυμίας τῇ ἐπινεύσει τῆς Σῆς, γαλήνης Θεοτόκε, καὶ σῶσον μελῳδοῦντα τῷ Υἱῷ Σου πανάμωμε, ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

*ᾨδὴ η΄. Τὸν Βασιλέα.*

Δοξολογοῦντες, τὴν Παναγίαν Τριάδα, ὑπὲρ πάντων ἡμῶν θεοφόροι, ποιήσατε πρεσβείαν, ὅπως ἐλεηθῶμεν.

Τοῦ Παρακλήτου, εἰσδεδεγμένος τὴν χάριν, ὅλος γέγονας Πάτερ πυρίπνους, Κύριον δοξάζω, εἰς πάντας τοὺς αἰῶνας.

Μῆτερ Πανσέμνη, σεμνεῖον θείας ἀγάπης, τὴν ψυχὴν ἀπειργάσω σεμνοῖς σου, ἤθεσιν Ὁσία, Θεὸν ἱλασκομένη.

*Θεοτοκίον.*

Κυοφορίᾳ, ὑπὲρ φύσιν Παρθένε, στρατιὰς ἐξέπληξας Ἀγγέλων, ἀνυμνολογούντων, Σὲ Κόρη εἰς αἰῶνας.

*ᾨδὴ θ΄. Κυρίως Θεοτόκου.*

Ὁμότιμοι τῇ δόξῃ, σύνθρονοι Ὁσίων, δυὰς Ἁγία δειχθέντες συμμόρφους ἡμᾶς, Χριστοῦ γενέσθαι τῆς δόξης καθικετεύσατε.

Θεόφανες ὁ φοῖνιξ, τῆς ἀθανασίας, τῆς ἀθανάτου ζωῆς καταξίωσον, τοὺς εὐφημοῦντας ἀξίως τὴν πολιτείαν σου.

Πανσέμνη ἡ σεμνότης, γυναικῶν Ὁσίων, σέμνυνον πάσας αἰσθήσεις ψυχῆς καὶ τοῦ σώματος, τῶν ἐξαιτούντων τὴν θείαν ἐπικουρίαν σου.

*Θεοτοκίον.*

Διάνοιξον τὰ σπλάγχνα, τῆς φιλανθρωπίας, τοῦ Σοῦ Υἱοῦ Θεοτόκε πρεσβείᾳ θερμῇ, ὅπως ἐλέους τυχόντες Σὲ μεγαλύνομεν.

*Ἄξιόν ἐστι...* καὶ τὰ Μεγαλυνάρια.

Χαίροις θεοσύναπτε ξυνωρίς, Θεόφανες Πάτερ καὶ Πανσέμνη θεοκλεής, χαίρετε προστάται, τῶν πόθῳ ἐκτελούντων, ὑμῶν τὴν θείαν μνήμην, θεομακάριστοι.

Χαίρετε δυὰς ἡ περικαλλής, ἀμάραντα ἄνθη Βασιλείας τῶν
οὐρανῶν, Πανσέμνη Ὁσία, Θεόφανες παμμάκαρ, πιστῶν ἀδολεσχία, ἀκατασίγαστος.

Ἀκρογωνιαίῳ λίθῳ Χριστῷ, οἰκοδομηθέντες, πειρασμῶν ταῖς ἐπιφοραῖς, ἀκλινεῖς ὡς πύργοι, ἐμείνατε ἀθλοῦντες, Ὅσιοι ἀναιμάκτως, ἐπαγαλλόμενοι.

Φρόνημα νεκρώσαντες τῆς σαρκός, ἀΰλων Ἀγγέλων ὁμοιώθητε τοῖς
χοροῖς, Θεόφανες Πάτερ, Πανσέμνη μακαρία, ἀσκητικῶν καμάτων, ῥόδα μυρίπνοα.

Διέγερσις Μῆτερ ἁμαρτωλῶν, ἀπὸ τῆς κακίας ὁ σὸς βίος ὁ θαυμαστός, πρόκειται Πανσέμνη, Θεοῦ τὴν εὐσπλαγχνίαν, τοῖς πέρασιν τρανώσας, καὶ τὴν συγχώρησιν.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες, μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαις εἰς Τὸν σωθῆναι ἡμᾶς.

*Τρισάγιον.Ἀπολυτίκιον. Τῆς Ὁσίας.*

*Ἦχος πλ. α΄. Τὸν Συνάναρχον Λόγον.*

Ἱλασμοῦ τῶν πταισμάτων τυχοῦσα πάνσεμνε, τῷ φέγγει τῆς μετανοίας καταυγασθεῖσα τὸν νοῦν, τῆς ἀσκήσεως ἐφάνης θεῖον σέμνωμα, ὅθεν θαυμάτων δωρεᾶς, σὲ ἠξίωσε Χριστός, Πανσέμνη Ὁσία Μῆτερ, Ὃν δυσώπει τοῦ οἰκτειρῆσαι, ἡμᾶς τοὺς πίστει εὐφημοῦντάς σε.

*Ἕτερον. Τῶν Ὁσίων. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.*

Ὁσίως βιώσαντες ἐπὶ τῆς γῆς τὴν ἰσχύν, ἐχθροῦ ἐταπείνωσαν ὁ Θεοφάνης ὁμοῦ, Πανσέμνη ἡ πάνσεμνος, ὅθεν τῆς οὐρανίου, βασιλείας τυχόντες, ἄπαυστον ἱκεσίαν τῷ Θεῷ ἐκτελοῦσι, ὑπὲρ τῶν ἐπιτελούντων αὐτῶν, μνήμην τὴν εὔσημον.

*Ἐκτενὴς καὶ Ἀπόλυσις, μεθ' ἣν ψάλλομεν τὰ ἑξῆς.*
*Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.*

Πάντας, τοὺς γεραίροντας ὑμῶν, τὴν ἀξιοτίμητον μνήμην, ἀπὸ παντοίων κακῶν, ῥύσασθε δεόμεθα καὶ πάσης θλίψεως, σὺν Πανσέμνῃ Θεόφανες, σύγκληροι Ὁσίων, ἄνθρωποι οὐράνιοι, βλαστοὶ θεόφυτοι, βέλη, τοῦ ἐχθροῦ τὴν καρδίαν, πᾶσαν κατατρώσαντες οὗπερ, τῶν παγίδων ἡμᾶς ῥύσασθε.

Τῇ πρεσβείᾳ Κύριε πάντων τῶν Ἁγίων καὶ τῆς Θεοτόκου, τὴν Σὴν εἰρήνην δὸς ἡμῖν, καὶ ἐλέησον ἡμᾶς, ὡς μόνος οἰκτίρμων.

*Δι' εὐχῶν.*

